www.tezaurliturgic.ro

ΙΩΑΝΝΟΥ ΦΩΤΟΠΟΥΛΟΥ
ΠΡΩΤΟΠΡΕΣΒΥΤΕΡΟΥ

# Ο ΑΓΙΟΣ
# ΛΕΟΝΑΡΔΟΣ
## Ο ΟΜΟΛΟΓΗΤΗΣ

ΒΙΟΣ — ΘΑΥΜΑΤΑ — ΑΚΟΛΟΥΘΙΑ

Πρόλογος: π. Σαράντης Σαράντος

ΕΚΔΟΣΕΙΣ
ΠΑΠΑΔΗΜΗΤΡΙΟΥ
απο το 1896

www.tezaurliturgic.ro

# ΑΣΜΑΤΙΚΗ ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ

πατρὸς ἡμῶν

# ΛΕΟΝΑΡΔΟΥ

ΤΟΥ ΟΜΟΛΟΓΗΤΟΥ

(Ψαλλομένῃ τῇ 6ῃ Νοεμβρίου)

Ποίημα

Πατρὸς ΙΩΑΝΝΟΥ ΦΩΤΟΠΟΥΛΟΥ

www.tezaurliturgic.ro



www.tezaurliturgic.ro

# ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

*Τὸ «Μακάριος ἀνήρ». Εἰς τὸ «Κύριε, ἐκέκραξα» ψάλλομεν στιχηρὰ προσόμοια.*

**Ἦχος πλ. β΄. «Ὅλην ἀποθέμενοι»**

Ὅλην ἀναθέμενος, τὴν σὴν ζωὴν τῷ Πατρί σου, καὶ Δεσπότου ὅσιε, ὑποθήκας θέμενος ἐν καρδίᾳ σου, ταπεινώσει πάντοτε, συντόνῳ νηστείᾳ, προσευχῇ ἀδιαλείπτῳ τε, δοχεῖον γέγονας, πλῆρες χαρισμάτων τοῦ Πνεύματος. Διὸ καὶ τοῖς λειψάνοις σου, πόθῳ προσιόντες κραυγάζομεν, πάτερ Λεονάρδε ἀπάλλαξον, ἡμᾶς ἐκ πειρασμῶν, καὶ νοσημάτων πρεσβείαις σου, ταῖς θερμαῖς πρὸς Κύριον.

Λέων ἰσχυρότατος, ἀναδειχθεὶς τῇ ἀσκήσει, Λεονάρδε ὅσιε, τῶν δαιμόνων ἤλασας τὰ στρατεύματα, καὶ τῷ σῷ κηρύγματι, εἰς θεογνωσίαν, ἐκ τοῦ σκότους ἐπανήγαγες, πληθὺν μισήσασαν, τῆς πολυθείας μιάσματα, τῷ θώρακι τῆς πίστεως, καθωραϊσμένος πανόλβιε, διὸ καὶ τιμῶντες τὴν μνήμην σου, βοῶμεν ἐκτενῶς, λιταῖς ἁγίαις σου στήριξον, πίστιν τὴν ὀρθόδοξον.

www.tezaurliturgic.ro



Φωστὴρ τηλαυγέστατος, ἀναφανεὶς Λεονάρδε, πάντας πρὸς σὲ ἥλκυσας, τῇ χριστομιμήτῳ σου ἱλαρότητι, βασιλέα ἔπεισας, ἐξουσίαν δοῦναί σοι, ἀπολύειν πάντα δέσμιον, τῇ ἐπισκέψει σου, διδασκάλῳ θείῳ ἑπόμενος, διὸ καὶ περιέτρεχες, πᾶσαν τὴν Γαλλίαν θεόσοφε, πάντας ἀπαλλάξαι ἁλύσεων, δεσμῶν καὶ φυλακῆς, καὶ νῦν ἡμᾶς ἐλευθέρωσον, αἰχμαλώτους πάθεσιν.

### Ἕτερα. Ἦχος δ΄. «Ὁ ἐξ Ὑψίστου κληθεὶς»

Ἀγαλλομένῳ ποδὶ ἐξῆλθες πάτερ, κοσμικῆς συγχύσεως, καὶ ματαιότητος, καὶ δόξης πάσης τὸ πρόσκαιρον, καταφρονήσας, ὀπίσω ἔδραμες τοῦ Δεσπότου σου, κηρύξας δὲ ἔθνεσι, τὸ Εὐαγγέλιον, θεογνωσίας ἐπλούτησας, τοὺς προσιόντας, τῇ θείᾳ σκέπῃ σου ὁσιώτατε, καὶ ἐν ἐρήμῳ διαιτώμενος, ἡμιλλήθης ἀγγέλων στρατεύμασι, τοῦ ἐχθροῦ τὰς ἐνέδρας, ἐκφυγὼν παννύχοις στάσεσιν.

Ὑψῶν τὰς χεῖρας νυκτός τε καὶ ἡμέρας, οὐρανόθεν ἔλαβες, χάριν ἀνέκλειπτον, τοῖς ἀδελφοῖς φιλοτίμως δέ, αὐτὰς ἐκτείνας, πλοῦτον χαρίτων αὐτοῖς μετέδωκας, καὶ χεῖρας ἁλύσεων, ἐλευθερώσας ταχύ, καὶ ἐπιτόκους λυτρούμενος, ἐκ τῶν ὠδίνων, καὶ πάσης βλάβης θεομακάριστε, ἡμῶν ἁπάντων πεφανέρωσαι, ἀκατάβλητον τεῖχος πρεσβείαις σου, ἐν ᾧ θραύονται πᾶσαι, ἐπιθέσεις τοῦ ἀλάστορος.

Τοὺς ὀφθαλμούς σου ἐπλήρωσας δακρύων, Λεονάρδε πάνσοφε, καὶ νοῦν ἐκάθηρας, τὸ ὀπτικὸν δὲ ἐλάμπρυνας, τὸ τῆς ψυχῆς σου, τῇ φωταυγείᾳ τοῦ Θείου

www.tezaurliturgic.ro



Πνεύματος, διὸ κατοπτεύεις νῦν, κάλλος τὸ ἔνθεον, τῆς τρισηλίου Θεότητος, ἀεὶ πρεσβεύων, ὑπὲρ τῶν πίστει ἀναβοώντων σοι· Σὺ εἶ ὁ πάντας ἐξαιρούμενος, πειρασμῶν καὶ κινδύνων καὶ θλίψεων, ἀσθενούντων προστάτης, ἐπιτόκων καταφύγιον.

### Δόξα. Ἦχος πλ. β΄

Δεῦτε ὀρθοδόξων τὸ γένος, τὸν θεῖον Λεονάρδον, θεηγόροις ᾄσμασιν ἀνευφημήσωμεν. Οὗτος ὡς ἀστὴρ λάμψας ἑωθινός, τὴν Ἐκκλησίαν φαιδρύνει, ἀκτῖσι τῶν θαυμάτων αὐτοῦ. Ἅπαντας γὰρ εὐφραίνει γλυκασμῷ, τῆς χρηστότητος αὐτοῦ, ὑμνολόγους ποιεῖ τῆς ἀρρήτου δόξης, καὶ φιλανθρωπίας τοῦ Σωτῆρος Χριστοῦ. Δεῦτε οὖν φιλεόρτων ὁμήγυρις, ἐκ πάσης φυλῆς καὶ γλώσσης, τῆς Γαλλίας τὸ ἄνθος, καὶ Λιμόζης τὸ καύχημα, γηθοσύνοις ᾠδαῖς ἐπαινέσωμεν, βοῶντες αὐτῷ· σκέπασον πάτερ πάντας ἡμᾶς, τοὺς ἐγγίζοντάς σοι, ἐκ πάσης δαιμονικῆς ἐπιβουλῆς, καὶ εἰρήνευσον τὴν Χριστοῦ Ἐκκλησίαν, λιταῖς ἁγίαις σου πρός Κύριον.

### Καὶ νῦν

Τίς μὴ μακαρίσει σε...

*Εἴσοδος*. Φῶς ἱλαρόν. *Προκείμενον τῆς ἡμέρας καὶ τὰ ἀναγνώσματα:*

**Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα**

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ...

www.tezaurliturgic.ro



**Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα**

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι...

**Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα**

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι...

## Εἰς τὴν Λιτὴν

### Ἦχος α΄

Τοῦ φωτοφόρου καὶ οὐρανόφρονος πατρός, τὴν σεβάσμιον μνήμην ἐπιτελοῦντες, φιλεόρτοις ᾄσμασι, καταστέψωμεν αὐτόν, καὶ τὸ γλυκύτατον καὶ παμπόθητον ὄνομα αὐτοῦ, ἐπικαλεσώμεθα ἐν πίστει, πλοῦτον ἄφθονον κομιζόμενοι, τῶν χαρίτων αὐτοῦ. Βοήσωμεν ἐκ βάθους καρδίας πρὸς αὐτόν· Λεονάρδε ὅσιε, ψυχοφθόρων καὶ χρονίων παθῶν, τοὺς ἱκέτας σου λύτρωσαι, τῷ Χριστῷ ἡμᾶς καταλλάσσων, ταῖς διαπύροις πρεσβείαις σου.

### Ἦχος β΄

Δεσμὰ σιδηρᾶ, καὶ ἁλύσεις βαρεῖαι, τῇ φοβερᾷ καὶ λαμπρᾷ σου παρουσίᾳ, ὥσπερ κηρὸς κατατήκονται, Λεονάρδε παμμάκαρ, μοναζόντων τὸ καύχημα. Τῶν ἀθῴων γὰρ μὴ φέρων, τὴν ἄδικον κάθειρξιν, ἐκ βαθυτάτων λάκκων τούτους ἀναρπάζεις, κλεῖθρα διαρρηγνύων, καὶ ἰσχυροὺς πύργους κατασείων, τῇ κραταιᾷ σου δὲ χει-

www.tezaurliturgic.ro



ρί, τοὺς δεσμίους ὁδηγεῖς εἰς τὸν θεῖον ναόν σου, τὰς ἀλύσεις κομίζοντας, ὑμνοῦντας δὲ τὸ σεπτόν σου ὄνομα, καὶ δοξολογοῦντας τὸν ὑπεράγαθον Κύριον.

### Ἦχος δ΄

Ὢ τῶν θαυμασίων Σου Χριστὲ βασιλεῦ, ὅτι τῇ χάριτι σου ἀπεκάλυψας τόπον, ὅπου ἔδει μετατεθῆναι, τὸ λείψανον τοῦ εὐλογημένου δούλου σου. Λαοῦ γὰρ νηστεύοντος καὶ εὐχομένου, χιὼν ἐνέπεσε πυκνή, τὴν χώραν πᾶσαν καλύψασα, τόπος δὲ μόνος κατελείφθη κενός, ἔνθα καὶ ᾠκοδόμηται, ναὸς περικαλλέστατος. Λαὸς δὲ πίστει καὶ πόθῳ καὶ χαρᾷ, τὴν σορὸν τοῦ ὁσίου σου, ἐκεῖσε ἀπέθετο, χεῖρας εὐφροσύνως κροτῶν, καὶ σὲ δοξολογῶν, τὸν ἐνδοξαζόμενον, ἐν ταῖς μνήμαις τῶν ἁγίων σου.

### Δόξα. Ἦχος πλ. α΄

Πάτερ ἁγιώτατε, τὸ πλῆθος τῶν ἀρετῶν σου, ὥσπερ σεπτὸν διάδημα, τὴν κορυφήν σου στεφανοῖ. Ποίαν ἐντολὴν οὐκ εἰργάσθης; Ποῖον δὲ κόπον ἔφυγες; Ποῖον δὲ χάρισμα οὐκ ἔλαβες; Ἐκ γὰρ τῆς ἀκενώτου πηγῆς, τοῦ Σωτῆρος ἀντλήσας, διαπορθμεύεις τοῖς πιστοῖς, τὴν δρόσον τοῦ Πνεύματος. Ὅθεν τοὺς ἐλαχίστους ἀδελφούς σου διακονήσας, καὶ παρρησίαν ἔχων πρὸς τὸν φιλάνθρωπον Θεόν, αἴτησαι ἵλεων αὐτὸν γενέσθαι ἡμῖν, τοῖς ἐπιτελοῦσι τὴν μνήμην σου, ἐν τῇ φοβερᾷ ἡμέρᾳ τῆς κρίσεως.

www.tezaurliturgic.ro


**Καὶ νῦν καὶ ἀεί...**

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε...

## Εἰς τὸν Στίχον

**Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου σε**

Ὅτε ὥσπερ ἄγγελος λαμπρός, ἐν τῷ δάσει ὤφθης θεόφρον, ἐξαστραπτούσῃ μορφῇ, πάντες κατεπλάγησαν, καὶ ἐθαμβήθησαν, βασιλεὺς δὲ τοῖς γόνασι, πεσὼν παρεκάλει, ῥύεσθαι τὴν σύνευνον, θανεῖν ἐγγίζουσαν, ὅθεν δακρυρρόοις εὐχαῖς σου, βασιλὶς ἰάθη ἐν τάχει, καὶ υἱὸν τεκοῦσα ἠλευθέρωται.

Πᾶσαν ἡδυπάθειαν σοφέ, ἐναπομαράνας τῷ πόθῳ, τῆς βασιλείας Χριστοῦ, πᾶσαν κακοπάθειαν, ἡγήσω ἄνεσιν, πέλων ὅμως φιλάνθρωπος, τοῖς τέκνοις σου πάτερ, φρέαρ πλῆρες ὕδατος τῇ σῇ εὐχῇ χορηγεῖς. Ὅθεν εὐχαρίστως ἐβόων· Δόξα σοι, Θεὲ παντοκράτορ, κηδεμόνα ἡμῖν ἄριστον θέμενος.

Ὅτε σὲ ἐκήδευσε λαμπρῶς δῆμος μοναστῶν καὶ μιγάδων, τῇ σῇ πανσέπτῳ μονῇ, θαύματα ἰάσεων ποικίλα γέγονεν, ὅτε πάλιν ἠθέλησαν, ναὸν ἀνεγεῖραι, καὶ σορὸν τὴν θείαν σου, ἐκεῖ κομίζεσθαι, θαύματι ἐγνώσθη ὁ τόπος, καὶ χαρᾶς ἐνέπλησας πάντας, Λεονάρδε ὅσιε πανθαύμαστε.

www.tezaurliturgic.ro



**Δόξα. Ἦχος πλ. δ´**

Στρατείαν βασιλικήν, καὶ δόξαν κοσμικήν, καὶ γεννητόρων τὴν εὐγένειαν ἀρνησάμενος, ἠρετίσω συνταχθῆναι τῷ Χριστῷ, ὡς στρατιώτης πανάριστος, καὶ τῆς ἄνω δόξης καὶ θεοειδοῦς ἐπέτυχες, καταπαλαίσας τὸν πολυμήχανον· τῷ δὲ σοφωτάτῳ Ρεμιγίῳ ἑπόμενος, σεαυτὸν ἡγίασας, νηστείᾳ συντόνῳ, ἀδιαλείπτῳ προσευχῇ, καὶ ταπεινώσει χριστομιμήτῳ. Ὅθεν τῷ Δεσπότῃ Χριστῷ προσκολληθείς, οἰκονόμος τῶν χαρισμάτων αὐτοῦ γεγένησαι, καὶ πηγὴ δροσίζουσα καὶ κατευνάζουσα, τῆς σαρκὸς ἡμῶν καὶ τῆς ψυχῆς τὰ οἰδήματα.

**Καὶ νῦν**

Ἀνύμφευτε Παρθένε...

## Ἀπολυτίκιον

**Ἦχος α´. Τῆς ἐρήμου πολίτης**

Τῶν ὁσίων τὸ κλέος, διδασκάλων τὸ καύχημα, καὶ κρουνὸς ἐλέους ἐδείχθης, Λεονάρδε πατὴρ ἡμῶν. Λυτροῦσαι γὰρ δεσμῶν καὶ φυλακῆς τοὺς πίστει καταφεύγοντας εἰς σέ, ἐπιτόκους δὲ ἐν τάχει ἐλευθεροῖς, καρπὸν κοιλίας χαριζόμενος. Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ ἀναδείξαντι, δόξα τῷ σὲ πλουτοῦντι δαψιλῶς, σημείοις τε καὶ θαύμασιν.

www.tezaurliturgic.ro



# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

**Μετὰ τὴν α΄ στιχολογίαν.**

**Κάθισμα. Ἦχος α΄.**

**«Τὸν τάφον σου, Σωτὴρ»**

Ἀστὴρ φωτολαμπής, πεφυκὼς Λεονάρδε, ἐπύρσευσας λαούς, διδαχαῖς σου ἐνθέοις, καὶ πλείστοις ἐν θαύμασι, τῷ Κυρίῳ προσήγαγες, πλήθη ἄπειρα, τὴν τῶν εἰδώλων μανίαν, ἀρνησάμενα, καὶ κολληθέντα ἐν πόθῳ, Χριστῷ τῷ Θεῷ ἡμῶν.

**Δόξα, Καὶ νῦν.**

**Θεοτοκίον ὅμοιον**

Μαρία τὸ σεπτόν, τοῦ Δεσπότου δοχεῖον, ἀνάστησον ἡμᾶς, πεπτωκότας εἰς βάθος, δεινῆς ἀπογνώσεως, καὶ πταισμάτων καὶ θλίψεων, σὺ γὰρ πέφυκας, ἁμαρτωλῶν σωτηρία, καὶ βοήθεια, καὶ κραταιὰ προστασία, καὶ σῴζεις τοὺς δούλους σου.

**Μετὰ τὴν β΄ στιχολογίαν.**

**Κάθισμα. Ἦχος δ΄. Ἐπεφάνης σήμερον**

www.tezaurliturgic.ro



Ἐπιφαίνη ἅπασι, τοῖς αἰχμαλώτοις, καὶ λυτροῦσαι τάχιστα, ἔκ τε δεσμῶν καὶ φυλακῆς, καὶ τῶν κινδύνων καὶ θλίψεων, τοὺς μετὰ πόθου, αἰτοῦντάς σε ὅσιε.

Δόξα, Καὶ νῦν. Θεοτοκίον ὅμοιον

Προστασία ἄμαχε, τῶν ἐν ἀνάγκαις, καὶ πρεσβεία ἕτοιμος, τῶν ἐλπιζόντων ἐπὶ σέ, ἀπὸ κινδύνων με λύτρωσαι, καὶ μὴ παρίδης, ἡ πάντων βοήθεια.

Μετὰ τὸν Πολυέλαιον.
Κάθισμα. Ἦχος γ΄. «Τὴν ὡραιότητα»

Ἐν τῇ φρονήσει σου, κόσμον ἠλόγησας, ἐν τῇ ἀσκήσει σου, δαίμονας ᾔσχυνας, καὶ Ῥεμιγίῳ τῷ σοφῷ, ἀκλινῶς ἠκολούθησας, ὅθεν καὶ ἀπέλαβες, χαρισμάτων τὸ πέλαγος, καὶ Θεῷ εὐχόμενος, βασιλίδα ἐπίτοκον, ἐρρύσω τοῦ θανάτου καὶ τέκνον, ἀπέδωκας αὐτῇ ταῖς πρεσβείαις σου.

Δόξα, Καὶ νῦν. Θεοτοκίον ὅμοιον.

Τῆς συμπαθείας σου, πλοῦτον τὸν ἄμετρον, καὶ δυναστείας σου, κράτος τὸ ἄμαχον, ἀναλαβόμενος εἰς νοῦν, προσέδραμον τῇ σκέπη σου, θλίψει συνεχόμενος, καὶ δεινῶς ἀπορούμενος, κράζων ἐκ βαθέων μου, καὶ καρδίας τοῖς δάκρυσι, Παρθένε Θεοτόκε βοῶ σοι· Σῶσόν με σῶσον τὸν ἀνάξιον.

www.tezaurliturgic.ro



**Οἱ ᾿Αναβαθμοί.** ᾿Εκ νεότητος μου...

**Προκείμενον.** Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.
**Στίχ.** Καυχήσονται ὅσιοι ἐν δόξῃ.

*Πᾶσα πνοὴ καὶ Εὐαγγέλιον ὁσιακόν, εἶτα ὁ Ν΄ ψαλμός.*

**Δόξα.** Ταῖς τοῦ σοῦ ῾Οσίου...
**Καὶ νῦν.** Ταῖς τῆς Θεοτόκου...

**Στίχ.** ᾿Ελέησόν με, ὁ Θεός...

**᾿Ιδιόμελον. Ἦχος πλ. β΄**

῞Οσιε Πάτερ παντὶ τῷ κόσμῳ, ἐγνώσθη ὁ πλοῦτος τῆς φιλανθρωπίας σου, δι᾿ ἧς Χριστῷ ὁμοιωθείς, τύπος ἐγένου τοῖς πιστοῖς, πενομένους ἠλέησας ἅπαντας, δαιμονῶντας ἰάσω πρεσβείαις σου, καὶ ἰσάγγελοϲ ὤφθης τῷ βίῳ σου, προσεδρεύων θρόνῳ τοῦ παντάνακτος Θεοῦ, σωτηρίαν αἴτησαι ταῖς ψυχαῖς ἡμῶν.

*Εἶτα οἱ κανόνες. ῾Ο κανὼν τῆς Θεοτόκου μετὰ τῶν εἱρμῶν εἰς ϛ΄ καὶ τοῦ ὁσίου εἰς η΄.*

Κανὼν τοῦ ὁσίου Λεονάρδου, οὗ ἡ ἀκροστιχίς: *Εὐχαῖς σου, ὅσιε, φώτισον Λεονάρδον τεκνίον σου.*

www.tezaurliturgic.ro



## Ὠδὴ α΄. Ἦχος πλ. δ΄.

«Ἁρματηλάτην φαραὼ ἐβύθισε, τερατουργοῦσα ποτέ, μωσαϊκὴ ῥάβδος, σταυροτύπως πλήξασα καὶ »διελοῦσα θάλασσαν, Ἰσραὴλ δὲ φυγάδα, πεζὸν ὁδίτην »διέσωσεν, ᾆσμα τῷ Θεῷ ἀναμέλποντα».

Εὐαρεστήσας τῷ Θεῷ μακάριε, τῇ πολιτείᾳ σου, φωταγωγεῖς πάντας, τοὺς εἰς σὲ προστρέχοντας, διὸ καὶ νῦν τὸν δοῦλόν σου, ταῖς τοῦ βίου μερίμναις, καταποντούμενον φώτισον, εἰς τὸ ἐπαξίως ὑμνῆσαί σε.

Ὑλώδη πάθη καθελὼν ἐνέκρωσας, γεῶδες φρόνημα, καὶ προσευχῇ πάτερ, τῇ θερμῇ πρὸς Κύριον, Τριάδος ἐνδιαίτημα, γεγονὼς Λεονάρδε, περιχορεύεις τῷ Κτίστῃ σου, σὺν ταῖς οὐρανίαις δυνάμεσιν.

Χαρᾶς πληροῦται Ἐκκλησία σήμερον, τῇ θείᾳ μνήμῃ σου, ἐκ Δυσμῶν γὰρ λάμψας, ὡς ἀστὴρ ὁλόφωτος, ταῖς ἐν γαστρὶ ἐχούσαις νῦν, τῶν ὠδίνων λυτροῦσαι, τὴν εὐτοκίαν δωρούμενος, ὥσπερ βασιλίδι πρεσβείαις σου.

Ἀνθηφοροῦντά σε ὁρῶσα ὅσιε, χριστιανῶν ἡ πληθύς, ταῖς ἀρεταῖς πάσαις, καὶ λαμπροῖς χαρίσμασιν, ἐν δόξῃ κατευφραίνεται, εὐωδίας πληροῦται, καὶ μελῳδεῖ ἀνακράζουσα, δόξα τῇ δυνάμει σου Κύριε.

### Θεοτοκίον

Ἵνα λυτρώσῃ τῶν παθῶν τὸν ἄνθρωπον, ὁ Ὑπεράγαθος, ἐκ τῶν σῶν αἱμάτων, σαρκωθεὶς Πανάμωμε,

www.tezaurliturgic.ro



Κυρίαν σε ἀπέδειξε, ἀοράτου τε πάσης, καὶ ὁρατῆς κτίσεως, καὶ ἡμῶν ἁπάντων διάσωσμα.

## Ὠδὴ γ΄

«Σὺ εἶ τὸ στερέωμα, τῶν προστρεχόντων σοι Κύριε, σὺ εἶ τὸ φῶς τῶν ἐσκοτισμένων, καὶ ὑμνεῖ σε τὸ πνεῦμά »μου».

Στρατιώτης ἄριστος, καθωπλισμένος τῇ χάριτι, πάσας ἐχθροῦ, σὺ τὰς παρατάξεις, Λεονάρδε συνέτριψας.

Σῴζεις ταῖς πρεσβείαις σου, τοὺς ἐν δεσμοῖς καὶ ἁλύσεσι, παντοειδῶς, καταπονουμένους, Λεονάρδε πανεύφημε.

Ὄλβον ἀναφαίρετον, ἐκτήσω πάτερ ἀσκήσει σου, καὶ τῇ πολλῇ, ἐν Χριστῷ ἀγάπῃ, ἣν ἀφθόνως μετέδωκας.

Ὑπανοίξας ὦτά σου, σῷ διδασκάλῳ θεόφρονι, καὶ τὸν Χριστόν, ἔχων ἐν καρδίᾳ, ἡγιάσθης ὅλος ὅσιε.

### Θεοτοκίον

Ὅλον τὸν ἀχώρητον, Θεὸν χωρήσας ἐν μήτρᾳ σου, Μῆτερ ἁγνή, καὶ ἡμῖν μὴ κλείσῃς, τὰ φιλάνθρωπα σπλάγχνα σου.

www.tezaurliturgic.ro


### Κάθισμα. Ἦχος πλ. δ΄. «Τὴν Σοφίαν καὶ Λόγον»

Τῷ Κυρίῳ καὶ μόνῳ ἀληθινῷ, φιλανθρώπῳ Δεσπότῃ ὁμοιωθείς, λαμπρότατον ἔσοπτρον, ἀποστίλβον χρηστότητι, τοῦ Χριστοῦ ἐγένου, καὶ τύπος πραότητος, καταυγάζων πάντας, ἀκτῖσιν ἐλέους σου, πάντας οὖν ἴασαι, νοσημάτων ποικίλων, παρέχεις δὲ δόματα, φιλοτίμως τοῖς πένησι, Λεονάρδε, πανόλβιε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, ἡμῖν πᾶσι, δοῦναι τὴν συγχώρησιν, τοῖς μετὰ πόθου τιμῶσι, τὴν ἁγίαν μνήμην σου.

### Καὶ νῦν. Θεοτοκίον

Τὴν Σοφίαν καὶ Λόγον ἐν σῇ γαστρί, συλλαβοῦσα ἀφλέκτως Μήτηρ Θεοῦ, ἀφράστως ἀπεκύησας, τὸν τὰ πάντα ποιήσαντα, καὶ ἐν ἀγκάλαις ἔσχες, τὸν πάντα κατέχοντα, καὶ ἐκ μαζῶν ἐθήλασας, τὸν κόσμον ἐκτρέφοντα, ὅθεν δυσωπῶ σε, Παναγία παρθένε, ῥυσθῆναι πταισμάτων μου, ὅταν μέλλω παρίστασθαι, πρὸ προσώπου τοῦ Κτίστου μου. Δέσποινα παρθένε ἁγνή, τὴν σὴν βοήθειαν, τότε παράσχου μοι, καὶ γὰρ δύνασαι, ὅσα θέλεις πανάχραντε.

### Ὠδὴ δ΄

«Σύ μου ἰσχύς Κύριε, σύ μου καὶ δύναμις, σὺ ὁ Θεός μου, σύ μου ἀγαλλίαμα, ὁ πατρικοὺς κόλπους μὴ »λιπών, καὶ τὴν ἡμετέραν πτωχείαν ἐπισκεψάμενος, διὸ

www.tezaurliturgic.ro



»σὺν τῷ προφήτῃ, Ἀββακοὺμ σοι κραυγάζω· τῇ δυνάμει »σου δόξα, φιλάνθρωπε».

Σὲ βοηθὸν τάχιστον σὲ καὶ ἀσφάλειαν, ἐν κινδύνοις εὕραντο ἐπίτοκοι, καὶ ἰατρὸν πάντων τῶν παθῶν, λυτροῦσαι γὰρ νόσων καὶ λυπηρῶν πάντα ἄνθρωπον, διὸ καὶ τῇ σῇ σκέπῃ, προσφεύγοντες πλουτοῦμεν, τῶν ἰαμάτων τὴν ἀντίδοσιν.

Ἰλὺν παθῶν ἅπασαν σὺ ἐξετίναξας, σφοδροτάτῳ ἔρωτι πρὸς Κύριον, καὶ ἐλλαμφθεὶς δόξῃ θεϊκῇ, ἐνέκρωσας σάρκα καὶ τὸν κρυπτὸν ἔσω ἄνθρωπον, εὐχῇ ἀνακαινίσας, ἰσάγγελος ἐγένου, ὦ Λεονάρδε παμμακάριστε.

Ἐρημικὸν ἔνθεον βίον ἐπόθησας, καὶ ἐν Πάβῳ ᾤκησας μακάριε, ὑπενεγκὼν πάντα πειρασμόν, διὸ καὶ ἐφάνης ποιμὴν ἁπάντων γλυκύτατος, διδάσκων ἰατρεύων, καὶ ἐμπιμπλῶν ἐλέοις, ἄπειρα πλήθη προσιόντα σοι.

Φυγαδευτὴς πέφυκας δαιμόνων κράτιστος, παραλύτων ἔνδοξε ἀνόρθωσις, καὶ τῶν τυφλῶν πάντων φωτισμός· κωφοῖς τὸ ἀκούειν καὶ ἀσθενοῦσι τὴν ἴασιν, παρέχεις ταῖς εὐχαῖς σου, καὶ λόγοις μελιρρύτοις, πάθη ἐλαύνεις τῶν ψυχῶν ἡμῶν.

www.tezaurliturgic.ro



Ὠδὴν φαιδρὰν ᾄσωμεν πανηγυρίζοντες, τῇ Παρθένῳ καὶ ἁγνῇ Θεόπαιδι, ὅτι αὕτη γέγονεν ἡμῖν, ὁδὸς σωτηρίας ἁγιασμός τε καὶ λύτρωσις, ὡς τέξασα ἐν χρόνῳ, τὸν ἄχρονον Δεσπότην, καὶ ποιητὴν καὶ λυτρωτὴν ἡμῶν.

## Ὠδὴ ε´

«Ἵνα τί με ἀπώσω, ἀπὸ τοῦ προσώπου σου, τὸ φῶς τὸ ἄδυτον, καὶ ἐκάλυψέ με, τὸ ἀλλότριον σκότος »τὸν δείλαιον; ἀλλ᾽ ἐπίστρεψόν με, καὶ πρὸς τὸ φῶς τῶν »ἐντολῶν σου, τὰς ὁδούς μου κατεύθυνον δέομαι».

Τῷ δεθέντι τραχήλῳ, ὑπ᾽ ἀνόμου ἄρχοντος, καὶ θνήσκειν μέλλοντι, Λεονάρδος ὤφθη, λαμπροτάτῃ ἐσθῆτι κοσμούμενος, καὶ ἐλευθερώσας, ἐν τῷ ναῷ αὐτοῦ εἰσάγει, καὶ λαὸν ὑμνῳδὸν ἀπεργάζεται.

Ἵνα ῥύσῃ δεσμώτην, ἐκτενῶς σε ὅσιε, ἐπικαλούμενον, Μωυσῆς καθάπερ, Ῥοδανὸν πλημμυροῦντα διέτεμες, καὶ ποσὶν ἀβρόχοις, διὰ τῆς κοίτης ὁδηγήσας, δειλιῶντα ἱκέτην διέσωσας.

Σωρηδὸν τῷ ναῷ σου, κεῖνται ἀναθήματα, τρανῶς κηρύττοντα, τὴν ἐλευθερίαν, ἣν παρέσχες ἀφθόνως τοῖς δούλοις σου, ἐν δεσμωτηρίοις, καὶ θλίψει ἐπικαλουμένοις, τὸ γλυκὺ ὄνομά σου θεόληπτε.

Ὁλονύκτιον αἶνον, πάντες οἱ τιμῶντές σου, τὴν μνήμην σήμερον, νῦν προσφέρομέν σοι, ἀνυστάκτῳ τῷ

www.tezaurliturgic.ro



ὄμματι μέλποντες, τὰ θαυμάσιά σου, καὶ τὴν πολλήν σου εὐσπλαγχνίαν, Λεονάρδε θεόφρον μακάριε.

### Θεοτοκίον

Ναὸν θεῖον Παρθένε, ὁ κλεινὸς Λεονάρδος, ἐν πίστει ἤγειρε, εἰς τιμήν σου Μῆτερ, καὶ ἐν σοὶ τὰς ἐλπίδας ἀνέθετο, τῇ γὰρ σῇ πρεσβείᾳ, καὶ τῇ θερμῇ σου ἀντιλήψει, καὶ ἡμεῖς καταφεύγομεν πάντοτε.

### Ὠδὴ ϛ´

«Ἱλάσθητί μοι Σωτήρ, πολλαὶ γὰρ αἱ ἀνομίαι μου, καὶ ἐκ βυθοῦ τῶν κακῶν, ἀνάγαγε δέομαι, πρὸς σὲ γὰρ »ἐβόησα, καὶ ἐπάκουσόν μου, ὁ Θεὸς τῆς σωτηρίας μου».

Λειμῶνα πνευματικόν, ὡραϊζόμενον ἄνθεσι, ποικίλοις τῶν ἀρετῶν, Λεονάρδε ἔνδοξε, σκιρτῶνται ὁρῶντές σε, τῶν πιστῶν οἱ δῆμοι, ἐν Κυρίῳ ἀγαλλόμενοι.

Ἐλευθερώσας ταχύ, πικροῦ θανάτου ὠδίνων τε, τὴν βασιλίδα εὐχαῖς, ταῖς θερμαῖς πρὸς Κύριον, παιδίον ἐδώρησας, ἐμπιμπλῶν ἁπάσης, θυμηδίας τοὺς γεννήτορας.

Ὀρθρίζων διὰ παντός, ἐν τῷ ναῷ τοῦ Κυρίου σου, ἀστὴρ ὡς ἑωθινὸς ἐξέλαμψας ὅσιε, τελέσας δὲ δρόμον σου, ἐντολῶν τηρήσει, στεφανίτης ἀναδέδειξαι.

www.tezaurliturgic.ro


Νυμφίῳ καλλοποιῷ, φίλος ἐγένου πιστότατος, προσάγων αὐτῷ λαούς, σκοτίᾳ καθεύδοντας, συνάπτων κηρύγματι, ὥσπερ νύμφην πάτερ, Ἰησοῦ τῷ Δεσπότῃ σου.

### Θεοτοκίον

Ἀνύμφευτε Μαριάμ, Θεογεννήτωρ πανάμωμε, δοχεῖον καὶ κιβωτός, γέγονας Θεότητος, ἡμῶν δὲ ζητούντων σε, κατ' ἐχθρῶν ὑπάρχεις, ἀπροσμάχητος βοήθεια.

### Κοντάκιον.
### Ἦχος δ΄. «Ὁ Ὑψωθεὶς»

Εὐαρεστήσας τῷ Θεῷ Λεονάρδε, καὶ καθαρθεὶς ὥσπερ χρυσίον ἐκλάμπον, τῇ δοκιμῇ μακάριε, νηστείας καὶ εὐχῆς, τοῖς εἰς σὲ προστρέχουσιν ἑαυτὸν διαδίδως, αἰχμαλώτοις ῥύεσαι, ἐπιτόκους λυτροῦσαι, καὶ ἀρτιγέννητα βρέφη εὐλογεῖς, ἡμᾶς δὲ πάντας, φωτίζεις πρεσβείαις σου.

### Οἶκος

Λελαμπρυσμένος τῷ νοΐ, ὑπάρχων θεοφόρε, ναὸς ἡγιασμένος, ἐδείχθης τῆς Τριάδος, καὶ καταγώγιον τερπνόν· πέλων δ' ὅμως τάλας, ἀνυμνεῖν ἀμηχανῶ, τὸν βίον σου τὸν ἔνθεον, καὶ τὰ πολλά σου πάτερ θαυμάσια· πλὴν δὲ καταφεύγων, τῇ σῇ λάρνακι ἐν πόθῳ, καὶ ἐν χαρᾷ, ὕμνους σοι προσφέρω, σῇ χάριτι ῥωσθείς, αἰτούμενος ὅπως, ὥσπερ ὄρνις στοργική, πάντας συνάγων,

www.tezaurliturgic.ro



δούλους σου ἡμᾶς, καθάπερ μικρὰ νοσσία, θερμάνῃς ποιμάνῃς, φωτίσῃς πρεσβείαις σου.

## Συναξάριον

Τῇ 6ῃ τοῦ αὐτοῦ μηνὸς μνήμη τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Λεονάρδου τῆς Λιμόζης τοῦ ὁμολογητοῦ καὶ θαυματουργοῦ.

*Λέων καθάπερ ἰσχυρὸς Λεονάρδε*
*ἀνυστάκτῳ ὄμματι νεκροῖς τὰ πάθη.*

Οὗτος ὁ ὅσιος πατὴρ ἡμῶν Λεονάρδος ἐγεννήθη ἐν Αὐρηλιανῷ (Ὀρλεάνη) ἐκ γονέων εὐγενῶν καὶ μαθητὴς ἐγένετο τοῦ μακαρίου Ῥεμιγίου ποιμένος τῆς τῶν Ρεμενσίων Ἐκκλησίας (Ῥάνς). Περιφανὴς δὲ γενόμενος τῇ ἀρετῇ καὶ τῇ ἁγιότητι τοσοῦτον αἰδέσιμος ἐφάνη τῷ βασιλεῖ Κλοδοβίῳ, ὥστε ἐπέτρεψεν αὐτῷ ἀπολύειν μόνῃ τῇ ἐπισκέψει του οἵους δεσμίους ἐβούλετο. Ἠλευθέρωσε δὲ καὶ τοῦ βασιλέως Χλωδοβίκου τὴν σύνευνον θανεῖν ἐγγίζουσαν ἐκ τῶν ὠδίνων τοῦ τοκετοῦ τέκνον τοῖς γονεῦσιν ὑγιὲς χαρισάμενος. Ἡσυχάσας δὲ ἐν τῷ δάσει Πάβῳ καὶ τὴν σάρκα κατατήξας νηστείᾳ καὶ ἀγρυπνίᾳ ἔπηξε καλύβαν καὶ ναὸν μικρὸν ἀνήγειρεν εἰς τιμὴν τῆς Θεοτόκου· παρ᾽ αὐτῷ δὲ ἠθροίσθη καὶ χορὸς πατέρων τινῶν. Τελέσας δὲ θαύματα πολλὰ καὶ ἰατρὸς φανεὶς ἄριστος καὶ ποιμὴν γλυκὺς καὶ διδάσκαλος ἀκριβέστατος πάντων ἀνεπαύθη ἐν Κυρίῳ τῇ ὀγδόῃ τῶν εἰδῶν τοῦ μηνὸς Νοεμβρίου (6 Νοεμβρίου). Μετὰ δὲ τὴν αὐτοῦ κοίμησιν θαύματα ἐγένοντο πλεῖστα τῇ ἐπικλήσει τοῦ ὀνόματος αὐτοῦ καὶ τῇ προσκυνήσει τῶν λειψάνων αὐτοῦ, καὶ οὕτως ἐδοξάσθη παρὰ τοῦ Κυρίου τοῦ ἐνδοξαζομένου ἐν ταῖς μνήμαις τῶν ἁγίων αὐτοῦ.

Ταῖς τοῦ ὁσίου πρεσβείαις Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

www.tezaurliturgic.ro


## Ὠδὴ ζ´

«Οἱ ἐκ τῆς Ἰουδαίας, καταντήσαντες παῖδες, ἐν Βαβυλῶνι ποτέ, τῇ πίστει τῆς Τριάδος, τὴν φλόγα τῆς »καμίνου, κατεπάτησαν ψάλλοντες· ὁ τῶν πατέρων ἡ»μῶν, Θεὸς εὐλογητὸς εἶ».

Ῥύπον πάντα καθάρας, ταῖς πηγαῖς τῶν δακρύων, παμμάκαρ ὅσιε, ἐλάμπρυνας σπουδαίως, τὸ ὄμμα τῆς ψυχῆς σου, ταῖς ἀκτῖσι τῆς χάριτος, καὶ σὺν ἀγγέλοις νῦν σκιρτᾷς, Τριάδα ἐποπτεύων.

Διαβὰς ὀναρίῳ, ἄλσος μέγα ἐκτήσω, ὡς δῶρον ἄνακτος, διένειμας δὲ τοῦτο, τοῖς πρώην αἰχμαλώτοις, φιλοπόνως ἐργάζεσθαι, τῇ εὐσπλαγχνίᾳ σου τὸν σόν, μιμούμενος Δεσπότην.

Ὄμμα τείνας εἰς ὕψος, ἀδιστάκτῳ τῇ πίστει, Θεὸν ἱκέτευσας, καὶ ἔπλησας ὑδάτων, εὐθὺς διαυγεστάτων, λάκκον μέγα ξηρότατον, πάντων αἰνούντων τὸν Θεόν, χείλεσι καὶ καρδίᾳ.

Ναῷ θείῳ σου πάντες, οἱ προσπεφευγότες, ἀντλοῦσιν ὅσιε ἰάματα ποικίλα, συσφίγγεις παραλύτους, καὶ ἐλαύνεις δαιμόνια, καὶ τάχιστα ἐλευθεροῖς, ἐγκύους σαῖς πρεσβείαις.

### Θεοτοκίον

Τοῦ φραγμοῦ τὸ μεσότοιχον, Θεοτόκε Μαρία, ἐν σοὶ κατήργηται, δανείσασα γὰρ σάρκα, τῷ τόκῳ σου

www.tezaurliturgic.ro



Παρθένε, οἰκειοῖς ἡμᾶς ἅπαντας, Χριστῷ τῷ μόνῳ αἰνετῷ, εἰς πάντας τοὺς αἰῶνας.

## ᾨδὴ η´

«Ἑπταπλασίως κάμινον, τῶν Χαλδαίων ὁ τύραννος, τοῖς θεοσεβέσιν, ἐμμανῶς ἐξέκαυσε, δυνάμει δὲ »κρείττονι, περισωθέντας τούτους ἰδών, τῷ δημιουργῷ, »καὶ λυτρωτῇ ἀνεβόα· οἱ παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυ»μνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας».

Ἐν τῇ σεπτῇ κοιμήσει σου, Ὀρθοδόξων ὁμήγυρις, συνελθοῦσα ἅμα, εὐλαβῶς ἐκήδευσε, τὸ πάντιμον σῶμά σου, ὡς θησαυρὸν ἀτίμητον, εἴσω τοῦ ναοῦ, ὃν ᾠκοδόμησας πάτερ, καὶ ἔκραζεν ὑμνοῦσα, Χριστὸν τὸν ζωοδότην, τὸν δόξαν δεδωκότα, τοιαύτην τοῖς ἁγίοις.

Καταπαλαίσας ἀνδρικῶς, τῆς σαρκὸς τὴν εὐπάθειαν, καὶ τὴν δόξαν πᾶσαν, τὴν τοῦ κόσμου ἔφυγες, ἀλλὰ νῦν τετύχηκας, τῆς ἄνω δόξης ὅσιε, καὶ κατατρυφῶν, φωτὸς ἀκτίστου δυσώπει, σὺν τῇ ἀειπαρθένῳ, τὸν Σωτῆρα τοῦ κόσμου, φυλάττειν ὀρθοδόξων, τὴν ποίμνην εἰς αἰῶνας.

Νηστείᾳ δυσωπούμενος, τριημέρῳ ὁ Κύριος, τοῖς θερμῶς αἰτοῦσι, τόπον ἀπεκάλυψε, ναὸν λαμπρὸν ἐγείρειν σοι, καὶ ἐν αὐτῷ τὸ σκῆνός σου, ὕμνοις καὶ ᾠδαῖς, καὶ ἐν χαρᾷ ἀποθέσαι, διὸ καὶ συνεγείρει, λαὸν καὶ κλῆρον πάντα, ὑμνεῖν σε Λεονάρδε, σὺν πᾶσι τοῖς ἁγίοις.

www.tezaurliturgic.ro


### Θεοτοκίον

Ἰῷ δολίου δράκοντος, φαρμαχθεῖσαν ἰάτρευσας, τῶν βροτῶν τὴν φύσιν, τῷ πανάγνῳ τόκῳ σου, φορέσας γὰρ Ἄχραντε, ὅλον Θεὸς τὸν ἄνθρωπον, ἐν τῇ σῇ γαστρί, ἡμᾶς ἐθέωσε πάντας, διὸ καὶ ὡς αἰτίαν, ἡμῶν τῆς σωτηρίας, σὲ ἀνυμνοῦμεν πόθῳ, εἰς πάντας τοὺς αἰῶνας.

### Ὠιδὴ θ΄

«Ἔφριξε πᾶσα ἀκοή, τὴν ἀπόρρητον Θεοῦ συγκατάβασιν, ὅπως ὁ Ὕψιστος, ἑκὼν κατῆλθε μέχρι καὶ »σώματος, παρθενικῶς ἀπὸ γαστρός, γενόμενος ἄνθρωπος· »διὸ τὴν ἄχραντον, Θεοτόκον οἱ πιστοὶ μεγαλύνομεν».

Ὅσιε πάτερ θαυμαστέ, μυστικαῖς θεωρίαις τερπόμενος, φωστὴρ ἐδείχθης λαμπρός, τῆς Ἐκκλησίας κοσμῶν στερέωμα· καὶ συγκαλεῖς λαῶν πληθύν, ἀρύειν ἰάματα ἀφθόνως βρύοντα, ἐκ τῆς λάρνακος τῶν θείων λειψάνων σου.

Νόμον Θεοῦ ἐκμελετῶν, χερσωθείσας καρδίας ἐγεώργησας, ἀρότρῳ λόγων σου, καὶ ἐκάθηρας παθῶν φθοροποιῶν, καὶ ταῖς σεπταῖς σου διδαχαῖς, καρπὸν ἑκατοστεύοντα Χριστῷ προσήνεγκας, ἀδαπάνητον μισθὸν κομισάμενος.

Σῴζεις χειρί σου κραταιᾷ, αἰχμαλώτους δεδεμένους ἁλύσεσι, τῇ ἐπικλήσει σου, καὶ ἐπιτόκων τὰς πέδας

www.tezaurliturgic.ro



διασπᾷς· καθάπερ λέων ἰσχυρός, ἐκβάλλεις τοὺς δαίμονας καὶ ἰατρὸς τῶν παθῶν, Λεονάρδε χρηματίζεις πανάριστος.

Ὅλον με φώτισον ταχύ, τὸν ἐν σκότει παθῶν ἐγκυλινδούμενον, καὶ ἀμαυρούμενον, καὶ ἡδοναῖς με δελεαζόμενον, πρεσβείᾳ σου φωτουργῷ, καὶ σῶσόν με ἐκ θλίψεων καὶ περιστάσεων, καὶ κινδύνων Λεονάρδε τρισόλβιε.

### Θεοτοκίον

Ὑψίστου γέγονας ναός, καὶ ἡμῶν καταφυγὴ καὶ ἀντίληψις, καὶ μέγα καύχημα, καὶ Λεονάρδου στερρὸν προτείχισμα, δείμας ναὸν εἰς σὴν τιμήν, ἐν σοὶ τὴν ζωὴν αὐτοῦ Μῆτερ ἀνέθετο, σὺν αὐτῷ οὖν δι᾽ ἡμᾶς Κυρίῳ πρέσβευε.

### Α΄ ἐξαποστειλάριον
### Ἦχος β΄. «Τοῖς μαθηταῖς συνέλθωμεν»

Τὸν τοῦ Δεσπότου γνήσιον, μαθητήν τε καὶ φίλον, καὶ κήρυκα πανθαύμαστον, τῶν αὐτοῦ προσταγμάτων, ἀνευφημήσωμεν πόθῳ, Λεονάρδον τὸν θεῖον· τὸν κόσμον γὰρ ἀφέμενος, τῷ Χριστῷ ᾠκειώθη, καὶ δι᾽ αὐτοῦ, πλάνην τῶν εἰδώλων ἀποδιώξας, τῇ πίστει ἔθνη εἵλκυσε, τῆς Ἁγίας Τριάδος.

www.tezaurliturgic.ro


### Β΄ ἐξαποστειλάριον
### Ἦχος β΄. Ὅμοιον

Τὸ σόν, θεόφρον ὄνομα, ἐν τοῖς χείλεσι φέρων, λυτροῦμαι παραπτώσεων, καὶ δεσμῶν ὀλεθρίων, καὶ γὰρ ἐδόθη σοι πάτερ, χάρις μὴ κενουμένη, διὸ προχέεις ἅπασι, τοῖς κυκλοῦσιν ἐν πίστει, τὴν σὴν σορόν, ὥσπερ βρύσιν ἄφθονον Λεονάρδε, ἰάματα δροσίζοντα, τῶν παθῶν τὰς φλογώσεις.

### Θεοτοκίον

Δοχεῖον πολυτίμητον, λίθοις κεκοσμημένον, τοῦ Θεοῦ Λόγου γέγονας, καὶ ναὸς Θεοφόρος, πρὸ τόκου γὰρ καὶ ἐν τόκῳ, καὶ μετὰ τόκον Παρθένος, ἔμεινας Μῆτερ ἄχραντε, τέξασα τὸν Δεσπότην, καὶ νῦν ἡμᾶς, τῷ Υἱῷ σου σύναψον ταῖς λιταῖς σου, συμπρεσβευτὴν τὸν ἔνδοξον, ἔχουσα Λεονάρδον.

## Εἰς τοὺς Αἴνους

### Στιχηρὰ προσόμοια.
### Ἦχος πλ. δ΄. «Ὢ τοῦ παραδόξου θαύματος»

Ὢ τοῦ παραδόξου θαύματος, ὁ τὸν κόσμον φυγών, ὑπὸ κόσμου διώκεται, καὶ πολίζει ἔρημον, καὶ θρυλεῖται τοῖς πέρασι, καὶ ἰαμάτων, γίνεται πέλαγος, καὶ τῶν δαιμόνων, φυγαδευτήριον, ὤ! πῶς ὑμνήσωμεν, Λεονάρ-

www.tezaurliturgic.ro



δε ὅσιε, τὴν ἐν Χριστῷ, ἐλεημοσύνην σου, καὶ τὴν χρηστότητα.

Πάτερ Λεονάρδε ὅσιε, ἀνατεθεὶς τῷ Θεῷ, ἐκ νεότητος ἔνδοξε, ἐβδελύξω τέλεον, τὴν τοῦ κόσμου τερπνότητα, καὶ βασιλέων, δόξαν καὶ εὔκλειαν, καταφρονήσας, ἔρημον ᾤκησας, ταῖς ἱκεσίαις σου, ταῖς θερμαῖς πρὸς Κύριον, πάντας ἡμᾶς, τοὺς εἰς σὲ προσφεύγοντας, Θεῷ οἰκείωσον.

Σῶν γεννητόρων ὑπεριδών, καὶ ὁλοψύχως δραμών, διδασκάλῳ θεόφρονι, Ῥεμιγίῳ ὅσιε, ἑαυτὸν παραδέδωκας, καὶ τοῖς ἐκείνου, ἴχνεσι πάντοτε, στερρῷ φρονήματι, ἠκολούθησας, ἡμῶν δὲ φώτισον, τῷ πανσέπτῳ βίῳ σου, νοῦν καὶ ψυχήν, καὶ τὰ διαβήματα, εὐχαῖς σου ἴθυνον.

### Δόξα. Ἦχος βαρὺς

Ἰδού σοι ὦ Δέσποτα, Λεονάρδος ὁ δοῦλός Σου, πολυπλάσιον τὸ τάλαντον ἀποδίδωσι. Κόσμον ἐμίσησε καὶ τοῖς ἐν σκότει ἐκήρυξε, τοῖς πτωχοῖς δὲ ἀφθόνως μετέδωκεν. Αἰχμαλώτους ἐρρύσατο, βασιλίδα δυστοκίας ἀπήλλαξε, καὶ δυσιάτους νόσους τῶν αὐτῷ προστρεχόντων ἐθεράπευσε. Δέξαι οὖν αὐτόν, ὡς φίλον σου γνήσιον, πρεσβεύοντα ὑπὲρ ὑμῶν, ἀχρείων αὐτοῦ συνδούλων, τῶν τιμώντων ἐν πόθῳ τὴν μνήμην αὐτοῦ.

*Δοξολογία Μεγάλη καὶ τὸ Ἀπολυτίκιον*

www.tezaurliturgic.ro



# Εἰς τὴν Λειτουργίαν

*Τὰ τυπικὰ καὶ οἱ μακαρισμοὶ καὶ ἐκ τοῦ κανόνος τοῦ ἁγίου ᾠδὴ γ΄ καὶ ϛ΄.*

*Ἀπόστολος καὶ Εὐαγγέλιον, ὁσιακά.*

***Κοινωνικόν.*** *Εἰς μνημόσυνον αἰώνιον*

### Μεγαλυνάριον

Τῆς ἀγάπης πάντες τὸν θησαυρόν, καὶ τὸν τοὺς δεσμίους ἐκλυτροῦντα τῆς φυλακῆς, τὸν τὰς ἐπιτόκους ταχὺ ἐλευθεροῦντα, τὸν θεῖον Λεονάρδον ὕμνοις τιμήσωμεν.

